κῶλος μοι φαίνεται ὁ σαπρὸς οὗτος καὶ εὐτράπελος. διαλλαγήσομαι αὐτῷ. Ὁ Ξάνθος ἔφη, Αἴσωπε διήλλακταί σοι ἡ κυρία σου. Ὁ δὲ Αἴσωπος μέγα πρᾶγμα τυγχάνει καταπραῢναι γυναῖκα. Ξάνθος ἔφη, σιώπα τοῦ λοιποῦ, ὠνησάμην σε εἰς δουλείαν, οὐχὶ εἰς ἀντιλογίαν. ἆρας οὖν τὸ μαρσίππιον, ἀκολούθει μοι, ὅπως ἀπὸ τῶν κήπων πριασώμεθα λάχανα. Ὁ δὲ θεὶς ἐπὶ τῶν ὤμων τὸ ὠμόλινον, ἠκολούθει τῷ Ξάνθῳ. ἐλθόντων δὲ αὐτῶν ἐν ἑνὶ τῶν κήπων, λέγει τῷ κηπουρῷ, ἐπίδος ἡμῖν λάχανα. Ὁ δὲ λαβὼν τὸ δρέπανον, ἀπεθέριζεν αὐτῷ ἀσπαράγους, σεῦτλα, μαλάχας, καὶ ἀρτύματα. εὐτελὲς δὲ δεσμήδιον φορτίον ἐπέδωκε τῷ Αἰσώπῳ. Ὁ δὲ Ξάνθος ἀνοίξας τὸ μαρσίππιον, ἐπεδίδου τὸ κέρμα τῶν λαχάνων. Ὁ δὲ κηπουρὸς λέγει τῷ Ξάνθῳ, ἔα